τοῦ δύνασθαι γὰρ αὐτοῖς αὐξομένου διὰ τῶν ἐγκαθημένων στρατιωτῶν καὶ τὸ τολμᾶν ἐπίδοσιν λαμβάνει τῶν φυλάκων τῆς χώρας κατὰ τὴν παροιμίαν τοὺς τοιούτους δρώντων καὶ οὐχ δρώντων, ἴσασι γὰρ ἐπὶ πολλῷ βοηθήσοντες τοῖς κειμένοις διὰ τὸν προστάτην. καὶ γὰρ δὴ καὶ τοσούτοις κακοῖς τοὔνομα τοῦτο ἔθεντο, πρέπει δέ, οἶμαι, τοῖς δικαίαις ἐπικουρίαις ἐξαιρουμένοις εἰς ἄδειαν ἀδικουμένην ἀσθένειαν.

7. Ἡ προστασία δὲ αὕτη πᾶν τοὐναντίον ποιεῖ. ῥώμην δίδωσιν | εἰς τὸ κακοῦν ἑτέρους. ὧν εἰσι R II 504 καὶ οἱ τὸν φόρον εἰσπράττοντες. οὓς ἐβουλόμην ἐνταῦθά μοι καὶ παρεῖναι καὶ βοᾶν οἷα πεπόνθασι. πάντως δ' ἂν τοῦτο μετὰ δακρύων ἐγίγνετο παρ' ἀνδρῶν πενήτων ἐξ εὐδαιμόνων γεγενημένων. πῶς γενομένων δέῃ μαθεῖν, ὦ βασιλεῦ; ἔρχονται ἐπὶ τὰς κώμας ταύτας τὰς διὰ τῶν στρατηγῶν τετειχισμένας οἱ κομιούμενοι τὸν φόρον ἔργον τοῦτο ἔχοντες καὶ λειτουργίαν. εἶτ' ἀπαιτοῦσι τὴν μὲν πρώτην πρᾴως καὶ βραχυτέρᾳ τῇ φωνῇ, καταφρονούμενοι δὲ καὶ καταγελώμενοι μετὰ ἀγανακτήσεως ἤδη καὶ μεῖζον φθεγγόμενοι καὶ οἷον εἰκὸς τοὺς τῶν δικαίων ἀτυχοῦντας. εἶτ' ἠπείλησαν τοὺς ἄρχοντας, μάτην | ἐλάττους R II 505 ὄντας τῶν τὰς κώμας καρπουμένων. εἶθ' ἥψαντο καὶ ἐπεσπάσαντο. οἱ δ' ἔδειξαν, ὡς εἰσὶν αὐτοῖς λίθοι.

---

11 sq. cf. Cod. Theod. XII 1, 128 21 cf. t. II 386, 3

---

6 γὰρ om Got | τοῦτ' Re 7 δ' Re | δικαίαις Re δικαίοις libri Got | ἐξαιρουμέναις B 8 ἀδικουμένην ἀσθένειαν om in lac 10 litt B 10 ῥώμην δίδωσιν] „videtur γὰρ interponendum“ Re 15 θέλεις? 18 εἶτ' scripsi e CAP εἶτα reliqui libri edd | πρᾴως PIBM Got 20 μετ' Re 22 εἶτα IBM | ἠπείλησαν Re ἠπείλησε libri sed ε (2) eras I 23 ὄντες Re 24 οἳ A οἵ PIBM

8. λαμβάνοντες οὖν οἱ πράκτορες ἀντὶ καρπῶν τραύματα ἀναστρέφουσιν εἰς ἄστυ τῷ περὶ τοῖς ἱματίοις αἵματι δηλοῦντες ἃ πεπόνθασι. καὶ τὸν μὲν θυμούμενον οὐκ ἔχουσιν, ἡ γὰρ τοῦ τὸν μισθὸν εἰληφότος δύναμις οὐκ ἐᾷ, ἀκούουσι δὲ οἱ δυστυχεῖς, ὅτι χρὴ καταβάλλειν ἢ μαστιγουμένους ἀπειπεῖν. οἱ δὲ οὔσης μὲν ἀνάγκης τοῦτο ποιεῖν, τὰ δὲ παρὰ τῶν ἀγρῶν ἀπεγνωκότες καὶ δεδιότες ἕτερα τραύματα, χρυσίου δ' οὐκ ὄντος οὐδ' ἀργυρίου πωλοῦσι μὲν θεραπαίνας θρηνοῦντες, πωλοῦσι δὲ ἀκολούθους, τροφέων υἱούς, ἀντιλαμβανομένους τῶν τοῦ πωλοῦντος γονάτων.

9. ἔρχονται δὲ καὶ εἰς ἀγρούς, οὐχ ὡς πρότερον μετὰ
R II 506 τῶν τέκνων, ἀλλ' ἀποδωσόμενοι μετὰ τῶν | ὠνησομένων. καὶ τράπεζα αὐτοῖς κοινὴ παρατίθεται, τὴν τιμὴν δὲ τῆς γῆς φόρον ὁ πεπρακὼς γιγνομένην ὁρᾷ. ἐξιὼν δὲ τῶν πατρῴων, ἔστι δ' οὗ καὶ παππῴων, βλέπων εἰς τοὺς ἐκείνων τάφους καὶ τιμῶν τοῖς διὰ τῶν χειρῶν φιλήμασι συγγνώμην ἔχειν ἀξιῶν ἀπέρχεται. εἶτα φροντὶς ὑπὲρ τροφῆς αὐτῷ τε καὶ γυναικὶ καὶ παισίν, εἶτα οὐδαμόθεν φαινομένης ἡ τοῦ προσαιτεῖν ἀνάγκη. 10. οὕτω βουλευτὴς βουλῆς ἐξαλείφεται οὐ σπόγγου γράμματα ἀφαιροῦντος, ἀλλ' οὐκέτ' οὔσης οὐσίας. ταῦτ' ἐλάττους ποιεῖ τὰς βουλὰς ἀντὶ μειζόνων, ταῦτ' ὀλίγους τοὺς καθ' ἑκάστην ἀντὶ πλειόνων.

---

6 cf. p. 13, 12 24 cf. p. 456, 23 sq.

---

2 *παρὰ IBM* 4 *οἱ I* sed *ο* eras 5 *ὅ, τί B* 7 *οὐ τοῦτο C* 8 *ἀπεγνωκότες P* sed *πεγνω* in ras m² 9 *δὲ B* Got | *οὐδ' P* sed *ου* in ras m² 14 *μὲν αὐτοῖς B* | *παρατίθεται κοινὴ IBM* 16 *πατρώων* et *παππώων BM* 19 ante *φροντὶς* ras 2 litt *A* 20 *παισὶ I* 21 *τῆς βουλῆς* Re 22 *οὐκέτ' B* *οὐκ ἔτ'* reliqui libri sed ' (2) eras *P²* 23 *ταῦτα IBM* 24 *καθεκάστην PIBM*

ταυτὶ δὲ ζημία πόλεως ὅλης. καὶ γὰρ ἂν τοῖς ἄλλοις εὖ πράττῃ, τούτῳ δὲ χωλεύῃ τῷ μέρει, μικρὰ τὰ | ἄλλα καὶ μικρὰ ποιεῖ τῆς βασιλείας τὰ πράγματα. R II 507 διὰ γὰρ τῶν ἀρχομένων ἐκείνη καὶ αὔξεται καὶ τοὐναντίον. οὐκοῦν βλάπτονται μὲν αἱ βουλαὶ ταῖς καλαῖς προστασίαις, βλάπτονται δὲ ταῖς βλάβαις τῶν βουλῶν αἱ πόλεις, πάλιν δὲ αὖ ταῖς τούτων οἱ μάχιμοι. ὧν οὐκ ἀμελητέον σοι, βασιλεῦ, δι' ὧν ἔνι καὶ κρατεῖν καὶ μὴ κρατεῖσθαι καὶ φοβεῖν καὶ μὴ φοβεῖσθαι. ἄνελε δὴ τὰς τοιαύτας προστασίας ἃς εἶναι παρ' ἡμῖν βούλοιντ' ἂν οἱ πολέμιοι.

11. Τὸ δὲ ζητεῖν προστάτην οὐ μόνον ἐκείνων ἐστὶ τῶν ἀγρῶν οἳ πολλῶν εἰσι τῶν ἐχόντων ἑκάστου μέρος οὐ πολὺ κεκτημένου, ἀλλὰ καὶ οἷς εἷς ὁ δεσπότης. καὶ οὗτοι τὸν μισθωτὸν προστίθενται τῇ τοῦ δεσπότου ζημίᾳ τὸν μισθὸν πορίζοντες καὶ διδόντες ἐξ ὧν ἀποστεροῦσι. καίτοι καὶ τῶν ἐπιφανῶν εἰσιν αἱ κῶμαι καὶ τῶν οἵων τε ὄντων χεῖρα ὀρέξαι λυπουμένοις. ἀλλ', οἶμαι, τὸ κακῶς ποιεῖν διώκοντες, οὐ τὸ παθεῖν φεύγοντες δυνάμεις τινῶν ὠνοῦνται, αἷς χρώμενοι πολλοῦ χρόνου προϊόντος καὶ | πρὸς τοὺς R II 508

---

5 cf. Cod. Theod. XII 1, 128 cum nota Gothofredi

---

1 ἄν τις Got 2 χωλεύῃ *P* sed η in ras m5 χωλεύει *I* | μικρὰ καὶ τὰ ἄλλα. ὄντα δὲ ταῦτα μικρὰ καὶ μικρὰ ποιεῖ coni Re 4 σώζεται Re 5 τιμαὶ *C* 7 αὖ ταῖς Re αὐταῖς libri Got 8 ὦ βασιλεῦ Re 9 φοβεῖσθαι καὶ μὴ φοβεῖν coni Re 10 δὴ scripsi auctore Re δὲ libri edd 14 μέρος οὐ Re μέρους τοῦ libri Got | οἷς *P* sed ο in ras m2 15 μισθωτὸν *P* sed ω in ras m2 μισθὸν *B* 17 ἀποστεροῦσι *P* sed στεροῦσι in ras m2 21 πολλοί? | καὶ πρὸς — 410, 2 ὀφθαλμὸν citat Plan l. l. | τοὺς αὐτῶν κυρίους] ἐκείνους Plan